**ἑλικοειδής**

Anon. Harl. 19. 12 sqq. εὕρηνται δὲ καὶ ἕτεραί τινες διαφοραὶ τοῦ ἡρωικοῦ· εἰσὶ δὲ αὗται· 1. κατενόπλιον τὸ ἔχον δύο δακτύλους καὶ ἕνα σπονδεῖον· ([Hom.] *Il.* I 357)

ὥς φάτο δακρυχέων, τοῦ δ᾽ ἔκλυε πότνια μήτηρ.

περιοδικὸν τὸ ἔχον ἕνα δάκτυλον καὶ ἕνα σπονδεῖον ([Hom.] *Il.* I 2)

οὐλομένην, ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽ ἔθηκε.

βουκολικὸν τὸ μετὰ τρεῖς ἀπαρτίζον εἰς μέρος λόγου· ([Hom.] *Il.* X 475)

ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο.

σαπφικὸν τὸ ἀρχόμενον ἀπὸ σπονδείου καὶ λῆγον εἰς σπονδεῖον· ([Hom.] *Il.* II 1)

ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί.

ὑπόρρυθμον τὸ καθ᾽ ἕκαστον πόδα ἀπαρτίζον εἰς μέρος λόγου· ([Hom.] *Il.* I 214)

ὕβριος εἵνεκα τῆσδε, σὺ δ᾽ ἴσχεο, πείθεο δ᾽ ἡμῖν.

τέλειον τὸ ἔχον πάντα τὰ μέρη τοῦ λόγου· ([Hom.] Il. XXII 59)

πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ᾽ ἐλέησον.

πολιτικὸν δὲ τὸ ἄνευ πάθους ἢ τρόπου· ([Hom.] *Il.* XI 680)

ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

ἑλικοειδὲς τὸ καὶ προβάθμιον καὶ κλιμακωτόν, ὅπερ ἄρχεται μὲν ἐκ μονοσυλλάβου λέξεως προιὸν δὲ αὔξει τὰς λέξεις μιᾷ συλλαβῇ θατέραν θατέρας· ([Hom.] *Il.* III 182)

ὦ μάκαρ Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον.

ἐμπερίβολον τὸ ἔχον τινὰς τῶν δέκα κατηγοριῶν καὶ τῶν ἓξ περιστατικῶν· ([Hom.] *Il.* I 3)

πολλὰς δ᾽ ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψε. [*M.E.*]